ὁ ΕΖ πρὸς τὸν Η· καὶ ἀναστρέψαντι ὡς ὁ ἀπὸ τῆς Β πρὸς ὁ ἀπὸ τῆς Α, οὕτως ὁ ἀπὸ τοῦ Η πρὸς τὸν ἀπὸ τοῦ ΕΖ. μετρεῖ δὲ τὸ ἀπὸ τῆς Β τὸ ἀπὸ τῆς Α· μετρεῖ ἄρα καὶ ὁ ἀπὸ τοῦ Η τετράγωνος τὸν ἀπὸ τοῦ ΕΖ· ὥστε καὶ ἡ πλευρὰ αὐτοῦ ὁ Η τὸν ΕΖ μετρεῖ· μετρεῖ δὲ καὶ ἑαυτὸν ὁ Η· ὁ Η ἄρα τοὺς ΕΖ Η μετρεῖ πρώτους ὄντας πρὸς ἀλλήλους, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα σύμμετρός ἐστιν ἡ Α τῇ Β μήκει· ἀσύμμετρος ἄρα :-



ρκα ι εὑρημένων δὴ τῶν μήκει ἀσυμμέτρων εὐθειῶν ὡς τῶν ΑΒ, ἀριθμοῦνται καὶ ἄλλαι παρ' ἑκάτερον μεγέθη ἐν δυσὶ διαστάσεων. λέγω δὴ ἐστι τὰ ἀσύμμετρα ἀλλήλοις. ἔστω γὰρ τῶν ΑΒ μέση ἀνάλογον λαμβανομένη ἡ Γ. ἔστιν ὡς ἡ Α πρὸς τὴν Β, οὕτως τὸ ἀπὸ τῆς Α εἶδος πρὸς τὸ ἀπὸ τῆς Γ τὸ ὅμοιον καὶ ὁμοίως ἀναγεγραμμένον, εἴτε τετράγωνα εἴτε τὰ ἀναγεγραμμένα εἴτε ἕτερα εὐθύγραμμα ὅμοια, εἴτε κύκλοι περὶ διαμέτρους τὰς ΑΓ· ἐπεὶ γὰρ οἱ κύκλοι πρὸς ἀλλήλους εἰσὶν ὡς τὰ ἀπὸ τῶν διαμέτρων τετράγωνα. εὕρηνται ἄρα καὶ ἐπὶ τῶν χωρίων ἀσύμμετρα



ἀλλήλοις :-

ρκβ δεδειγμένων δὲ καὶ τῶν ἐν δυσὶ διαστάσεσι διαφόρων χωρίων ἀσυμμέτρων, δείξομεν τοῖς ἀπὸ τῆς τῶν στερεῶν θεωρίας, ὅτι καὶ στερεὰ σύμμετρά τέ ἐστι καὶ ἀσύμμετρα ἀλλήλοις. ἐὰν γὰρ ἐστὶ τῶν ἀπὸ τῶν ΑΒ τετραγώνων ἢ τῶν ἴσων αὐτοῖς εὐθυγράμμων ἀναστῶμεν ἰσοϋψῆ στερεὰ παραλληλεπίπεδα ἢ πυραμίδας ἢ πρίσματα, ἔσται τὰ ἀνασταθέντα πρὸς ἄλληλα ὡς αἱ βάσεις. καὶ εἰ μὲν σύμμετροι ὦσιν αἱ βάσεις, σύμμετρα ἔσται καὶ τὰ στερεά· εἰ δὲ ἀσύμμετροι, ἀσύμμετρα :-



ρκγ ἀλλὰ μὴν καὶ δύο κύκλων ὄντων τῶν ΑΒ ἐὰν ἀπ' αὐτῶν ἰσοϋψεῖς κώνους ἢ κυλίνδρους ἀναγράφωμεν, ἔσονται πρὸς ἀλλήλους ὡς αἱ βάσεις, τουτέστιν ὡς οἱ ΑΒ κύκλοι· καὶ εἰ μὲν σύμμετροι ὦσιν οἱ κύκλοι, σύμμετροι ἔσονται οἵ τε κῶνοι ἀλλήλοις καὶ οἱ κύλινδροι· εἰ δὲ ἀσύμμετροι ὦσιν οἱ κύκλοι, ἀσύμμετροι ἔσονται καὶ οἱ κῶνοι καὶ οἱ κύλινδροι· καὶ φανερὸν ἡμῖν γέγονεν ὅτι οὐ μόνον ἐπὶ γραμμῶν καὶ ἐπιφανειῶν ἐστι συμμετρία τε καὶ ἀσυμμετρία, ἀλλὰ καὶ ἐπὶ τῶν στερεῶν σχημάτων :-

τέλος τοῦ ι' τῶν Εὐκλείδου στοιχείων :-